Μέση δ' ἐστὶν ἡ Ἀρκαδία, πᾶσιν ἐπικειμένη καὶ γειτνιῶσα τοῖς ἄλλοις ἔθνεσιν.

3. Ὁ δὲ Κορινθιακὸς κόλπος ἄρχεται μὲν ἀπὸ τῶν ἐκβολῶν τοῦ Εὐήνου (τινὲς δέ φασιν τοῦ Ἀχελῴου τοῦ ὁρίζοντος τοὺς Ἀκαρνᾶνας καὶ τοὺς Αἰτωλούς) καὶ τοῦ Ἀράξου. Ἐνταῦθα γὰρ πρῶτον ἀξιόλογον συναγωγὴν λαμβάνουσι πρὸς ἀλλήλας αἱ ἑκατέρωθεν ἀκταί· προϊοῦσαι δὲ πλέον τελέως συμπίπτουσι κατὰ τὸ Ῥίον καὶ τὸ Ἀντίρριον, ὅσον δὴ πέντε σταδίων ἀπολείπουσαι πορθμόν. Ἔστι δὲ τὸ μὲν Ῥίον τῶν Ἀχαιῶν ἁλιτενὴς ἄκρα, δρεπανοειδῆ τινὰ ἐπιστροφὴν εἰς τὸ ἐντὸς ἔχουσα (καὶ δὴ καὶ καλεῖται Δρέπανον), κεῖται δὲ μεταξὺ Πατρῶν καὶ Αἰγίου, | Ποσειδῶνος ἱερὸν ἔχουσα· τὸ δ' Ἀντίρριον ἐν μεθορίοις τῆς Αἰτωλίας καὶ τῆς Λοκρίδος ἵδρυται, ⟨καὶ⟩ καλοῦσι δὲ Μολύκριον Ῥίον. Εἶτ' ἐντεῦθεν διίσταται πάλιν ἡ παραλία μετρίως ἑκατέρωθεν, προελθοῦσα δ' εἰς τὸν Κρισαῖον κόλπον ἐνταῦθα τελευτᾷ, κλειομένη τοῖς προσεσπερίοις τῆς Βοιωτίας καὶ τῆς Μεγαρικῆς τέρμοσιν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416012515/21 UNIVERSITÄT LEIPZIG